αἱ ἀεὶ ἐνταῦθα τὰ πλοῖα διεφύλαττον, αἱ δ᾽ ἄλλαι ἔφυγον
εἰς † Σηστόν, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἐσώθησαν. καὶ 37
ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι Ἀννίβα ἡγουμένου
στρατεύσαντες ἐπὶ Σικελίαν δέκα μυριάσι στρατιᾶς αἱροῦσιν
ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας Σελινοῦντα καὶ Ἱμέραν.

Τῷ δὲ ἄλλῳ ἔτει [ᾧ ἦν Ὀλυμπιὰς τρίτη καὶ ἐνενηκοστή, II
ᾗ προστεθεῖσα ξυνωρὶς ἐνίκα Εὐαγόρου Ἠλείου, τὸ δὲ στά-
διον Εὐβώτας Κυρηναῖος, ἐπὶ ἐφόρου μὲν ὄντος ἐν Σπάρτῃ
Εὐαρχίππου, ἄρχοντος δ᾽ ἐν Ἀθήναις Εὐκτήμονος,] Ἀθη-
ναῖοι μὲν Θορικὸν ἐτείχισαν, Θράσυλλος δὲ τά τε ψηφισθέντα
πλοῖα λαβὼν καὶ πεντακισχιλίους τῶν ναυτῶν πελταστὰς
ποιησάμενος, [ὡς ἅμα καὶ πελτασταῖς ἐσομένοις,] ἐξέπλευσεν
ἀρχομένου τοῦ θέρους εἰς Σάμον. ἐκεῖ δὲ μείνας τρεῖς ἡμέρας 2
ἔπλευσεν εἰς Πύγελα· καὶ ἐνταῦθα τήν τε χώραν ἐδῄου καὶ
προσέβαλλε τῷ τείχει. ἐκ δὲ τῆς Μιλήτου βοηθήσαντές
τινες τοῖς Πυγελεῦσι διεσπαρμένους τῶν Ἀθηναίων ὄντας
τοὺς ψιλοὺς ἐδίωκον. οἱ δὲ πελτασταὶ καὶ τῶν ὁπλιτῶν 3
δύο λόχοι βοηθήσαντες πρὸς τοὺς αὑτῶν ψιλοὺς ἀπέκτειναν
ἅπαντας τοὺς ἐκ Μιλήτου ἐκτὸς ὀλίγων, καὶ ἀσπίδας ἔλαβον
ὡς διακοσίας, καὶ τροπαῖον ἔστησαν. τῇ δὲ ὑστεραίᾳ ἔπλευ- 4
σαν εἰς Νότιον, καὶ ἐντεῦθεν παρασκευασάμενοι ἐπορεύοντο
εἰς Κολοφῶνα. Κολοφώνιοι δὲ προσεχώρησαν. καὶ τῆς
ἐπιούσης νυκτὸς ἐνέβαλον εἰς τὴν Λυδίαν ἀκμάζοντος τοῦ
σίτου, καὶ κώμας τε πολλὰς ἐνέπρησαν καὶ χρήματα ἔλαβον
καὶ ἀνδράποδα καὶ ἄλλην λείαν πολλήν. Στάγης δὲ ὁ 5
Πέρσης περὶ ταῦτα τὰ χωρία ὤν, ἐπεὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ
στρατοπέδου διεσκεδασμένοι ἦσαν κατὰ τὰς ἰδίας λείας,
βοηθησάντων τῶν ἱππέων ἕνα μὲν ζῳὸν ἔλαβεν, ἑπτὰ δὲ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415836522/17 UNIVERSITÄT LEIPZIG